Ιανουάριος, Θεία Λειτουργία, ΚΥΡΙΑΚΕΣ, και 1, 5, 6, 7, 30, (ο χορός):

Κυριακή πρό των Φώτων, Κυριακή Μετά τα Φωτα, ΚΥΡΙΑΚΗ ΙΒ΄ΛΟΥΚΑ (10 λεπρων), ΚΥΡΙΑΚΗ ΙΔ΄ΛΟΥΚΑ (τυφλου Ιεριχου), ΚΥΡΙΑΚΗ ΙΕ΄ΛΟΥΚΑ (του Ζακχαίου), ΚΥΡΙΑΚΗ ΙΖ' Ματθαίου.

[Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: 11-1, 17-1, 18-1, 20-1, 25-1, 27-1, 30-1
παίρνουν και το Ευαγγέλιο και τον Απόστολο: 1-1 (ο Απόστολος του Αγίου), 6-1, 7-1, 30-1 (όταν πέσει εκτός Τριωδίου)
έχουμε κατάλυση οίνου και ελαίου, εάν οι εορτές αυτές πέσουν Τετάρτη ή Παρασκευή: Ιανουάριος: 11, 17, 18, 20, 25, 27, 30. Αυστηρά νηστεία: Ιανουαρίου 5, παραμονή Θεοφανείων-εκτός Σαββάτου και Κυριακης όπου τρωμε λάδι-. ΚΑΤΑΛΥΣΙΣ ΙΧΘΥΟΣ: 7-1,]

Θεία Λειτουργία (ο Χορός).* Ι. *Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς.../* Ἀμήν./ Κύριε ἐλέησον **(**[12ἢ13]**).** /Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοὶ, Κύριε./Ἀμήν. ***στίχος α΄. ...***Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς**(3).**/.Κύριε, ελέησον **(**[2]**). /**Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοι, Κύριε./ Ἀμήν. ***Στίχ. α'.*** ...Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν (ἢ ὁ ἐν Ἁγίοις θαυμαστός, ἡ…), ψάλλοντάς σοι· Ἀλληλούϊα **(3)**. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. **Ὁ Μονογενὴς Υἱὸς** καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶ**ς**./ Κύριε ἐλέησον **(**[2]**). /** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοὶ, Κύριε. / Ἀμήν. ***Στίχ. α΄. ...Ἀπολυτίκιον / (ἐὰν εἶναι ἕνας ἱερεύς:) ὁ α΄χορός:*** Δεῦτε προσκυνήσωμεν ...***ΑΠΟΛΥΤΙΚΙΑ***.

……

ΤΑ 8 ΑΝΑΣΤΑΣΙΜΑ ΑΠΟΛΥΤΙΚΙΑ,

Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου Σῶμα, ἀνέστης τριήμερος, Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν· διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐβόων σοί, Ζωοδότα· Δόξα τῇ Ἀναστάσει σου, Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

Ἦχος β'. Οτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅιδην ἐνέκρωσας,τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἦχος γ'. Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας Ἅιδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος δ'. Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις

καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν, πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε, σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

Ἦχος πλ. β'. Αγγελικαὶ Δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες, ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου σῶμα. Ἐσκύλευσας τὸν Ἅιδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Ἦχος βαρύς. Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· ἠνέῳξας τῷ Ληστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες· καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας· ὅτι ἀνέστης, Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος πλ. δ'. Εξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν, Κύριε, δόξα σοι.

……

[ΗΧΟΣ Γ΄. ΘΕΙΑΣ ΠΙΣΤΕΩΣ. *Γόνος γέγονας Γάνου καὶ Χώρας, μέγα καύχημα νήσου Καλύμνου, παμμακάριστε Σάββα, πατήρ ἡμῶν· καὶ γὰρ ὁδόν διελθών τῆς ἀσκήσεως, τοῦ ἀκροτάτου τέλους ἐπέτυχες. Διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν].*

……..

ΚΟΝΤΑΚΙΟΝ/ Κύριε ἐλέησον./Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.**(*τρίς*).** Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς./(*νε*) Δύναμις. (***αργά***)Ἅγιος ὁ Θεὸς - Ἅγιος ἰσχυρός - Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. **/ΑΠΟΣΤΟΛΟΣ/**

……..

Τὰ Προκείμενα τοῦ Ἀποστόλου των Κυριακων. ***Προκείμενον***. ***Ἦχος α',*** Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς. ***Στίχ.*** Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ.

Προκείμενον. ***Ἦχος β',*** Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος. ***Στίχ.*** Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.

Προκείμενον. ***Ἦχος γ',*** Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε. ***Στίχ.*** Πάντα ἔθνη κροτήσατε χεῖρας.

Προκείμενον. ***Ἦχος δ',*** Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. ***Στίχ.*** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Προκείμενον. ***Ἦχος πλ. α΄,*** Σύ, Κύριε, φυλάξαις ἡμᾶς καὶ διατηρήσαις ἡμᾶς. ***Στίχ.*** Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Προκείμενον. ***Ἦχος πλ. β΄,*** Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. ***Στίχ.*** Πρός σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Προκείμενον. ***Ἦχος βαρύς,*** Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.

Στίχ. Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.

Προκείμενον. ***Ἦχος πλ, δ',*** Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. ***Στίχ.*** Γνωστός ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

……

Ἀλληλούια. Ἀλληλούια. Ἀλληλούια. / Καὶ τῷ πνεύματί σου. / Δόξα σοι, Κύριε, δόξα σοι. / ***ΕΥΑΓΓΕΛΙΟΝ/*** Δόξα σοι, Κύριε, δόξα σοι.

……

[***Πότε λέμε*** "Εις πολλά έτη Δέσποτα" ***στην Θεία Λειτουργία: μετά την ανάγνωση του Ευαγγελίου σύντομα και μετά το τέλος του χερουβικου ύμνου, όταν ευλογει με το σταυρό.*** **ΕΝ ΑΡΧΙΕΡΑΤΙΚΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ. <u>Τρισάγιον.</u> Πρωτοψάλτης**: Άγιος ο Θεός…***Λαμπαδάριος***: Άγιος ο Θεός…***Ιερό Βημα:*** Άγιος ο Θεός…***Πρωτοψάλτης:*** Άγιος ο Θεός …***Ιερό Βημα:*** Άγιος ο Θεός …***(σύνολο πέντε). Λαμπαδάριος***: Δόξα Πατρί…***Πρωτοψάλτης***: Και νυν…***Λαμπαδάριος:*** Άγιος Αθάνατος… **Ιερό Βημα***:* <u>Άγιος ο Θεός.</u> ***(άρχεται το δύναμις του βήματος). Αρχιερεύς***: Κύριε, Κύριε επίβλεψον…..κτλ.. ***Πρωτοψάλτης***: εις πολλά έτη Δέσποτα Ή ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα:*** <u>Άγιος Ισχυρός.</u> ***Αρχιερεύ***ς :Κύριε, Κύριε… ***Λαμπαδάριος***: εις πολλά έτη…Ή ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα:*** <u>Άγιος Αθάνατος.</u> ***Αρχιερεύς***: Επίβλεψον…***Πρωτοψάλτης***: εις

πολλά έτη...Ή ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα*** : ελέησον ημας**.** ***Διάκονος***: ΔΥΝΑΜΙΣ...***Και οι χοροί ψάλλουν εναλλάξ το*** Δύναμις**.** ***Ιερό Βημα:*** Κύριε, σωσον τους ευσεβεις **(τρις)** ...***σε ηχο τρίτο και ανά μία οι χοροί. Ιερό Βημα***: και επάκουσον.....(***κλείνει***).

Φήμη Αρχιερέως εκ τρίτου...(συνήθως προηγειται εμμελής απαγγελία υπό του διακόνου και επανάληψη από Ιερό Βήμα, πρωτοψάλτη και Λαμπαδάριο). [Βαρθολομαίου του Παναγιωτάτου και Οικουμενικου Πατριάρχου, πολλά τα έτη./ Παϊσίου του Σεβασμιωτάτου και Θεοπροβλήτου Μητροπολίτου της Αγιωτάτης Μητροπόλεως Λέρου, Καλύμνου και Αστυπαλαίας, Υπερτίμου και Εξάρχου των Σποράδων νήσων, ημων δε πατρός και ποιμενάρχου, πολλά τα έτη] ***Κλείνει ο κύκλος με το Αποστολικό ανάγνωσμα. Σημ: Μετά τη Ανάγνωση του Ευαγγελίου ψάλλονται το*** Δόξα σοι Κύριε ***…. Και εν συνεχεία το*** εις πολλά έτη….

Ὅσοι εἰς Χριστὸν/ ἐβαπτίσθητε, /Χριστὸν ἐνεδύσασθε, /Ἀλληλούϊα.

Τὸν Σταυρόν Σου / προσκυνοῦμεν Δέσποτα,/ καὶ τὴν Ἁγίαν Σου Ἀνάστασιν /δοξάζομεν.]

……

[Κύριε ἐλέησον **(γ΄) (**[8]**) (*τὴν τελευταίαν ἄπαξ)*** / Ἀμήν. / Κύριε ἐλέησον.**(**[7]**) /** Σοὶ, Κύριε. / Ἀμήν. / Κύριε ἐλέησον.**(**[2]**)/** Ἀμήν./Κύριε ἐλέησον **(**[2]**).]** Ἀμήν. Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν, - ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι**.** / Ἀμήν. Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα **(γ΄). /** Κύριε ἐλέησον**.(**[5]**) /** Παράσχου Κύριε**(**[6]**)./**Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς./Σοὶ, Κύριε./Ἀμήν./Καὶ τῷ πνεύματί σου./Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον **(*στὰ συλλείτουργα:*** Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου καὶ ῥύστης μου). / Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς

τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρα κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν.Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν.Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν. **/** Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως./Καὶ μετὰ τοῦ πνεύματός σου. / Ἔχομεν πρὸς τὸν Κύριον. / Ἄξιον καὶ δίκαιον. / Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ (ὸ) ἐν τοῖς ὑψίστοις. / Ἀμήν. / Ἀμήν. / Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν. / Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. / Κύριε ἐλέησον./Καὶ πάντων καὶ πασῶν. / Ἀμήν. / Και μετά του πνεύματος σου. / [*Κύριε ἐλέησον* ***(***[5]***).*** *Παράσχου Κύριε* ***(***[6]***)]*** **ἢ Κύριε ἐλέησον(**[3]**)** / Σοί, Κύριε. / Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. /Ἀμήν. / Καὶ τῷ πνεύματί σου. / Σοί, Κύριε. / Ἀμήν. / Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. ***Κοινωνικόν:*** Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα**.** ***(ΜΝΗΜΟΣΥΝΟΝ)***/ Τοῦ δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι

δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου./ Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν./ Ἀμήν. / Κύριε ἐλέησον **(²). /** Σοί, Κύριε. / Ἀμήν. / Κύριε ἐλέησον. / Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.**(*τρίς*). / (*Μετά πνευμάτων δικαίων…*)** /Κύριε ἐλέησον. / Ἀμήν. / Δόξα Πατρί… Καὶ νῦν… Κύριε ἐλέησον ***(γ΄),*** Πάτερ ἅγιε, εὐλόγησον. / Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε, φύλαττε εἰς πολλὰ ἔτη. **[«Τον Δεσπότην και Αρχιερέα ημών, Κύριε φύλαττε, εις πολλά έτη Δέσποτα, εις πολλά έτη Δέσποτα, εις πολλά έτη Δέσποτα»]** / Ἀμήν.

****ό,τι ειναι υπογραμμισμένο αλλάζει ενδεχομένως από Λειτουργία σε Λειτουργία. χρειάζεται ακόμη μία σελίδα κάθε φορά - που θα έχει τον Απόστολο, τα τροπάρια, το Κοντάκιο κλπ.- και η οποία πρέπει να εκτυπώνεται μαζί με αυτήν την σελίδα, βλέπε εδω: https://www.youtube.com/user/KERMENI (βλέπε στις πληροφορίες), και εδω: https://apologhtika.blogspot.com/2023/10/4.html, έχοντας την παρουσα φωτοτυπία όλοι γίνονται πρακτικοί ψάλτες!!***

Ἀκολουθία τοῦ ΝΕΚΡΩΣΙΜΟΥ ΤΡΙΣΑΓΙΟΥ (και Μνημόσυνο την Κυριακή)…*Ἀναγνώστης·* Ἀμήν**. Τρισάγιον.** Δόξα… Καὶ νῦν… Παναγία Τριάς… Κύριε, ἐλέησο**ν (*γ΄*).** Δόξα… Καὶ νῦν… Πάτερ ἡμῶν**… *Ι.*** Ὅτι Σοῦ ἐστιν**…] *Καὶ ψάλλουσι τὰ Τροπάρια ταῦτα. Ἦχος δ΄.*(ΣΤΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ,** *ΕΙΗ ΤΟ ΟΝΟΜΑ ΚΥΡΙΟΥ***…)** Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τὴν ψυχὴν (τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων] σου, Σῶτερ, ἀνάπαυσον, φυλάττων αὐτὴν (αὐτὰς) εἰς τὴν μακαρίαν ζωὴν τὴν παρὰ σοί, φιλάνθρωπε. Εἰς τὴν κατάπαυσίν σου, Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τὴν ψυχήν (τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων] σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος. Δόξα…Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καταβὰς εἰς Ἅδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ τὴν ψυχὴν (τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων] σου, Σῶτερ, ἀνάπαυσον. Καὶ νῦν… *Θεοτοκίον.* Ἡ μόνη ἀγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὴν ψυχὴν (τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων] σου.

……

στην Διακαινήσιμο εβδομάδα αντί των ανωτέρω: Χριστός ανέστη εκ νεκρων, θανάτω θάνατον πατήσας, και τοις εν τοις μνήμασι, ζωήν χαρισάμενος. ***(3)*** Αναστάς ο Ιησους από του τάφου καθώς προειπεν, έδωκεν ημιν την αιώνιον ζωήν και μέγα έλεος.

……

Ἱερεύς (Δ)· Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον. ***Ἀναγνώστης·*** Κύριε, ἐλέησον…. **(ΘΥΜΙΑΖΩΝ ΚΑΙ ΨΑΛΤΑ)** Αἰωνία ἡ μνήμη, Αἰωνία ἡ μνήμη, Αἰωνία αὐτοῦ, [αὐτῆς, αὐτῶν] ἡ μνήμη ***(γ΄)….*****ΑΡΤΟΚΛΑΣΙΑ. *Ι.*** Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός Σου· δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. **(Χ.:** ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ (**γ΄)…..*Ὁ Χορός·*** Ἀμήν**.** ***Ὁ Ἱερεύς·+*** Εἰρήνη πᾶσι. ***Ὁ Χορός·*** Καὶ τῷ πνεύματί σου**.** ***Ὁ Διάκονος·*** Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. ***Ὁ Χορός·*** Σοί, Κύριε. ***Ὁ Ἱερεύς·*** Δέσποτα, πολυέλεε… ***Ὁ Χορός·*** Ἀμήν. ***Ὁ Ἱερεὺς θυμιᾷ καὶ ὁ Χορὸς ψάλλει· Ἦχος πλ. α΄.*** Θεοτόκε Παρθένε, χαῖρε Κεχαριτωμένη Μαρία ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη Σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν**.** ***Ἐν τῇ Διακαινησίμῳ ἑβδομάδι, ἀντὶ τοῦ*** <Θεοτόκε Παρθένε>, ***ψάλλεται τό·*** <Χριστὸς ἀνέστη>**.** ***Ὁ Διάκονος·*** Τοῦ Κυρίου δεηθῶμεν. ***Ὁ Χορός·*** Κύριε, ἐλέησον. ***Ὁ Ἱερεύς(λαβὼν ἕναν ἄρτον καὶ εὐλογῶν αὐτόν)· +*** Κύριε, Ἰησοῦ Χριστέ,…. ***Ὁ Χορός·*** Ἀμήν**.** ***(ἀσπασμὸς ἄρτου) Ὁ Ἱερεύς· Ἦχος βαρύς.*** Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. ***Οἱ δὲ Χοροὶ ἐπαναλαμβάνουσι τὸ αὐτὸ δίς.] ΑΠΟΣΤΙΧΑ (Ἡ ΑΠΟΛΥΤΙΚΙΟΝ ΚΑΙ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ).***

ΑΠΟΛΥΤΙΚΙΑ, Ιανουάριος

1-1. Ἀπολυτίκιον τοῦ Ἁγίου. Ἦχος α΄. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου· δι΄ οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας. Βασίλειον Ἱεράτευμα, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

1-1. Ἕτερον τῆς Ἑορτῆς, ὁ αὐτός. Μορφὴν ἀναλλοιώτως ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ΄ οὐσίαν, πολυεύσπλαγχνε Κύριε· καὶ Νόμον ἐκπληρῶν, περιτομήν, θελήσει καταδέχῃ σαρκικήν, ὅπως παύσῃς τὰ σκιώδη, καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν. Δόξα τῇ ἀγαθότητι τῇ σῇ· δόξα τῇ εὐσπλαγχνίᾳ σου, δόξα τῇ ἀνεκφράστῳ Λόγε συγκαταβάσει σου.

2-1. Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ . **Ἑ**τοιμάζου Ζαβουλών, καὶ εὐτρεπίζου Νεφθαλείμ. Ἰορδάνη ποταμέ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν Δεσπότην. Ἀγάλλου ὁ Ἀδὰμ σὺν τῇ Προμήτορι, μὴ κρύπτετε ἑαυτούς, ὡς ἐν Παραδείσῳ τὸ πρίν, καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς ἐπέφανεν, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν. Χριστὸς ἐφάνη, τὴν πᾶσαν κτίσιν, **θέλων ἀνακαινίσαι.**

3-1. ***Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ*** . **Ἑ**τοιμάζου Ζαβουλών,...

4-1. ***Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ*** . **Ἑ**τοιμάζου Ζαβουλών,...

Κυριακή πρό των Φώτων, Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ . **Ἑ**τοιμάζου Ζαβουλών,...

5-1. Ἀπολυτίκιον, Προεόρτιον(Παραμονῆς), και Κυριακή πρό των Φώτων 5-1, Ἦχος δ'. **Ἀ**πεστρέφετό ποτέ, ὁ Ἰορδάνης ποταμός, τῇ μηλωτῇ Ἐλισαιέ, ἀναληφθέντος Ἠλιού, καὶ διῃρεῖτο τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν, καὶ γέγονεν αὐτῷ, ξηρὰ ὁδὸς ἡ ὑγρά, εἰς τύπον ἀληθῶς τοῦ Βαπτίσματος, δι' οὗ ἡμεῖς τὴν ῥέουσαν, τοῦ βίου διαπερῶμεν διάβασιν, Χριστὸς ἐφάνη, ἐν Ἰορδάνῃ, ἁγιάσαι τὰ ὕδατα.

6-1. Ἀπολυτίκιον τῆς ἑορτῆς, Ἦχος α΄. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητὸν σὲ Υἱὸν ὀνομάζουσα· καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανείς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας δόξα σοι.

7-1(+29-8). Ἀπολυτίκιον τοῦ Ἁγίου. Ἦχος δ΄. Μνήμη δικαίου μετ΄ ἐγκωμίων· σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος· ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

8-1. Ἀπολυτίκιον τῆς ἑορτῆς, Ἦχος α΄. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε…

9-1. ***Ἀπολυτίκιον Ἦχος δ' Ταχὺ προκατάλαβε.***

Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ

δαιμόνων, τὰ ἀνίσχυρα θράση· Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον τῆς ἑορτῆς, Ἦχος α΄. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε…

10-1. Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος δ'

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν, κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Ἀπολυτίκιον τῆς ἑορτῆς, Ἦχος α΄. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε…

11-1. Ἀπολυτίκιον τοῦ Ὁσίου Ἦχος πλ. δ'

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας φωστήρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασιν, **Ὅσιε Πατὴρ ἡμῶν Θεοδόσιε,** πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

12-1. Ἀπολυτίκιον τῆς ἑορτῆς, Ἦχος α΄. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε…

Ἀπολυτίκιον τῆς ἑορτῆς, Ἦχος α΄. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε…

13-1. Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος δ'

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ...

Ἀπολυτίκιον τῆς ἑορτῆς, Ἦχος α΄. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε…

14-1. Ἀπολυτίκιον τῆς ἑορτῆς, Ἦχος α΄. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε…

15-1. Ἀπολυτίκιον, Ἦχος α'. Τῆς ἐρήμου πολίτης καὶ ἐν σώματι Ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν **Παυλε**, νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ἀπολυτίκιον τοῦ Καλυβίτου, Ἦχος δ', Ταχὺ προκατάλαβε

Ἐκ βρέφους τὸν Κύριον, ἐπιποθήσας θερμῶς, τὸν κόσμον κατέλιπες, καὶ τὰ ἐν κόσμῳ τερπνά, καὶ ἤσκησας ἄριστα· ἔπηξας τὴν καλύβην, πρὸ πυλῶν σῶν γονέων, ἔθραυσας τῶν δαιμόνων, τὰς ἐνέδρας Παμμάκαρ· διὸ σε Ἰωάννη Χριστός, ἀξίως ἐδόξασεν.

16-1. Ἀπολυτίκιον, Ἦχος δ'

Τὴν Ῥώμην μὴ λιπών, πρὸς ἡμᾶς ἐπεδήμησας, δι' ὧν ἐφόρεσας τιμίων Ἁλύσεων, τῶν Ἀποστόλων Πρωτόθρονε· ἃς ἐν πίστει προσκυνοῦντες δεόμεθα, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

17-1. Ἀπολυτίκιον. Ἦχος δ΄. Τὸν ζηλωτὴν Ἠλίαν τοῖς τρόποις μιμούμενος, τῷ Βαπτιστῇ εὐθείαις ταῖς τρίβοις ἑπόμενος, Πάτερ Ἀντώνιε, τῆς ἐρήμου γέγονας οἰκιστής, καὶ τὴν οἰκουμένην ἑστήριξας εὐχαῖς σου· διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

18-1. Ἀπολυτίκιον. Ἦχος γ΄.Θείας πίστεως. Ἔργοις λάμψαντες Ὀρθοδοξίας, πᾶσαν σβέσαντες κακοδοξίαν, νικηταὶ τροπαιοφόροι γεγόνατε· τῇ εὐσεβείᾳ τὰ πάντα πλουτίσαντες, τὴν Ἐκκλησίαν μεγάλως κοσμήσαντες, ἀξίως εὕρατε Χριστὸν τὸν Θεὸν εὐχαῖς ὑμῶν, δωρούμενον πᾶσι τὸ μέγα ἔλεος.

19-1. Ἀπολυτίκιον, Ἦχος α'

Τῆς ἐρήμου πολίτης καὶ ἐν σώματι Ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν **Μακάριε**, νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

20-1. Ἀπολυτίκιον, Ἦχος δ'

Εὐφραίνου ἔρημος ἡ οὐ τίκτουσα, εὐθύμησον ἡ οὐκ ὠδίνουσα· ὅτι ἐπλήθυνέ σοι τέκνα, ἀνὴρ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος, εὐσεβείᾳ φυτεύσας, ἐγκρατείᾳ ἐκθρέψας, εἰς ἀρετῶν τελειότητα. Ταῖς αὐτοῦ ἱκεσίαις, Χριστὲ ὁ Θεός, εἰρήνευσον τὴν ζωὴν ἡμῶν.

21-1. Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος πλ. δ'

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας Διδάσκαλε καὶ σεμνότητος, τῆς Ἐκκλησίας ὁ φωστήρ, τῶν Μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, **Μάξιμε** σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον Ἦχος δ' Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, …

22-1. Ἀπολυτίκιον τοῦ Ἀποστολου, Ἦχος δ'

Χρηστότητα ἐκδιδαχθείς, καὶ νήφων ἐν πᾶσιν, ἀγαθὴν συνείδησιν ἱεροπρεπῶς ἐνδυσάμενος, ἥντλησας ἐκ τοῦ Σκεύους τῆς ἐκλογῆς τὰ ἀπόρρητα· καὶ τὴν πίστιν τηρήσας, τὸν ἴσον δρόμον τετέλεκας, Ἀπόστολε Τιμόθεε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον Ἦχος δ' Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση· Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον τοῦ Ὁσιομάρτυρος, Ἦχος α'

Τῶν Μαρτύρων τὸ κλέος, καὶ Ὁσίων τὸ καύχημα, καὶ τὸν θησαυρὸν τῆς Περσίας, τὸν σοφὸν Ἀναστάσιον· τὸν μέγαν ἀντιλήπτορα πιστῶν, τὸν κήρυκα τῆς πίστεως ἡμῶν· ταῖς ἀγγελικαῖς ὑμνῳδίαις, εὐφημοῦμέν σε λέγοντες·Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

23-1. Ἀπολυτίκιον, Ἦχος δ'

Κλῆμα ὁσιότητος, καὶ στέλεχος ἀθλήσεως, ἄνθος ἱερώτατον, καὶ καρπὸς ὡς θεόσδοτος, τοῖς πιστοῖς πανίερε, ἡδύτατος ἐβλάστησας, Ἀλλ' ὡς Μαρτύρων σύναθλος, καὶ ἱεραρχῶν σύνθρονος, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

24-1. Ἦχος γ'. Θείας πίστεως. Ξένην ἤνυσας, ζωὴν ἐν κόσμῳ, ξένην ἔσχηκας, προσηγορίαν, ὑπεμφαίνουσαν τὴ κλήσει τὸν τρόπον σου, σὺ γὰρ νυμφίον λιποῦσα τὸν πρόσκαιρον, τῷ ἀθανάτῳ ὁσίως νενύμφευσαι. Ξένη ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμὶν τὸ μέγα ἔλεος.

Τῆς Ὁσίας Ἦχος πλ. δ',

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν Σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες ὑπερορᾶν μὲν σαρκὸς παρέρχεται γάρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται Ὁσία **Ξένη** τὸ πνεῦμά σου.

25-1. Ἀπολυτίκιον. Ἦχος α΄. Ὁ ποιμενικὸς αὐλὸς τῆς Θεολογίας σου, τὰς τῶν ῥητόρων ἐνίκησε σάλπιγγας, ὡς γὰρ τὰ βάθη τοῦ Πνεύματος ἐκζητήσαντι, καὶ τὰ κάλλη τοῦ φθέγματος προσετέθη σοι. Ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ,

Πάτερ Γρηγόριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν. ***26-1. Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος δ'***
Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, …
27-11. Ἀπολυτίκιον. Ἦχος πλ. δ΄. Αὐτόμελον. Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν· Ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.
28-1. Ἀπολυτίκιον τοῦ Ὁσίου Ἦχος πλ. δ'
Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας φωστήρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασιν, **Ἐφραὶμ Πατὴρ ἡμῶν Ὅσιε,** πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.
29-1. Ἀπολυτίκιον Ἦχος δ'
Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος,τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς **Ἰγνάτιε**· Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.
30-1. Ἀπολυτίκιον. Ἦχος α΄. Τοὺς τρεῖς μεγίστους φωστῆρας τῆς τρισηλίου Θεότητος, τοὺς τὴν οἰκουμένην ἀκτῖσι δογμάτων θείων πυρσεύσαντας· τοὺς μελιῤῥύτους ποταμοὺς τῆς σοφίας, τοὺς τὴν κτίσιν πᾶσαν θεογνωσίας νάμασι καταρδεύσαντας· Βασίλειον τὸν μέγαν, καὶ τὸν Θεολόγον Γρηγόριον, σὺν τῷ κλεινῷ Ἰωάννῃ, τῷ τὴν γλῶτταν χρυσορῥήμονι· πάντες οἱ τῶν λόγων αὐτῶν ἐρασταί, συνελθόντες ὕμνοις τιμήσωμεν, αὐτοὶ γὰρ τῇ Τριάδι, ὑπὲρ ὑμῶν ἀεὶ πρεσβεύουσιν.
31-1. Ἀπολυτίκιον, Ἦχος πλ. α'
Τὰ θαύματα τῶν Ἁγίων σου Μαρτύρων, τεῖχος ἀκαταμάχητον ἡμῖν δωρησάμενος, Χριστὲ ὁ Θεός, ταῖς αὐτῶν ἱκεσίαις, βουλὰς Ἐθνῶν διασκέδασον, τῆς Βασιλείας τὰ σκῆπτρα κραταίωσον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

1-1, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ *Α΄. Ἦχος α΄. Στίχ. α΄.*
Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ, ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ , δότε δόξαν αἰνέσει αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
Στίχ. β΄. Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ· διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
Στίχ. γ΄. Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου. Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
Στίχ. δ΄. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν τῷ ὀνόματί σου.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου…
Δόξα. Καὶ νῦν...Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
Ἀντίφωνον Β΄. Ἦχος β΄.
Στίχ. α΄. Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.
Στίχ. β΄. Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς, ..
Στίχ. γ΄. Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς, ..
Στίχ. δ΄. Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα, ὅσα ἠθέλησεν, ἐποίησε. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς, ..
Δόξα. Καὶ νῦν...Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος …
Ἀντίφωνον Γ΄. Ἦχος α΄. Στίχ. α΄.
Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.
Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος α΄.
Μορφὴν ἀναλλοιώτως ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ᾽ οὐσίαν πολυεύσπλαγχνε Κύριε· καὶ Νόμον ἐκπληρῶν περιτομήν, θελήσει καταδέχει σαρκικήν, ὅπως παύσῃς τὰ σκιώδη, καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν. Δόξα τῇ ἀγαθότητι τῇ σῇ· δόξα τῇ εὐσπλαγχνίᾳ σου· δόξα τῇ ἀνεκφράστῳ Λόγε συγκαταβάσει σου.
Στίχ. β΄. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε, καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.
Μορφὴν ἀναλλοιώτως ...
Στίχ. γ΄. Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

Μορφὴν ἀναλλοιώτως ...

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ, Εἰσοδικόν. Ἦχος β΄.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς,***(την Κυριακή:*** ὁ ἀναστὰς ἐκ νεκρῶν***),*** ,ψάλλοντάς σοι, Ἀλληλούϊα.

……

Κυριακή το αναστάσιμο απολυτίκιο

……

Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος α΄., Μορφὴν ἀναλλοιώτως ...

Τοῦ Ἱεράρχου. Ἦχος α΄. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου· δι᾽ οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας. Βασίλειον ἱεράτευμα, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ.

Κοντάκιον τῆς ἑορτῆς. (τῇ α΄ Ἰανουαρίου),Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ὁ τῶν ὅλων Κύριος περιτομὴν ὑπομένει καὶ βροτῶν τὰ πταίσματα ὡς ἀγαθὸς περιτέμνει· δίδωσι τὴν σωτηρίαν σήμερον κόσμῳ· χαίρει δὲ ἐν τοῖς ὑψίστοις καὶ ὁ τοῦ κτίστου ἱεράρχης καὶ φωσφόρος, ὁ θεῖος μύστης Χριστοῦ Βασίλειος.

ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ, ΑΠΟΣΤΟΛΟΣ, Προκείμενον καὶ Ἀλληλούϊα τῆς ἡμέρας, Προκείμενον. Ἦχος α΄. (Ψαλμὸς μη΄).

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα., ***(Κολ. β΄ 8-12)***

Ἀδελφοί, βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστόν· ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας, ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε

διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν.

...καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου **Εἰς τόἘξαιρέτως...**

Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις· ἀγγέλων τὸ σύστημα καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναὲ καὶ παράδεισε λογικέ, παρθενικὸν καύχημα· ἐξ ἧς Θεὸς ἐσαρκώθη καὶ παιδίον γέγονεν ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις· δόξα σοι**.**

...Μετὰ τὴν μετάδοσιν, ἀντὶ τοῦ· Εἴδομεν...Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος α΄. Μορφὴν ἀναλλοιώτως …

Τάξις τῆς δοξολογίας ἐπὶ τῇ ἐνάρξει τοῦ νέου ἔτους.*Ὁ διάκονος·* *Εὐλόγησον, Δέσποτα.**Ὁ ἱερεύς·*** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**Ὁ χορός·*** Ἀμήν.***Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος α΄.***
Μορφὴν ἀναλλοιώτως ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ᾽ οὐσίαν πολυεύσπλαγχνε Κύριε· καὶ Νόμον ἐκπληρῶν περιτομήν, θελήσει καταδέχει σαρκικήν, ὅπως παύσῃς τὰ σκιώδη, καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν. Δόξα τῇ ἀγαθότητι τῇ σῇ· δόξα τῇ εὐσπλαγχνίᾳ σου· δόξα τῇ ἀνεκφράστῳ Λόγε συγκαταβάσει σου.

Ἀπολυτίκιον τοῦ Ἱεράρχου. Ἦχος α΄.
Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου· δι᾽ οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας. Βασίλειον ἱεράτευμα, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα τὸ κοντάκιον τῆς ἰνδίκτου.Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Ὁ τῶν αἰώνων ποιητὴς καὶ δεσπότης, * Θεὲ τῶν ὅλων ὑπερούσιε ὄντως, * τὴν ἐνιαύσιον εὐλόγησον περίοδον * σῴζων τῷ ἐλέει σου τῷ ἀπείρῳ, οἰκτίρμον, * πάντας τοὺς λατρεύοντας σοὶ τῷ μόνῳ δεσπότῃ * καὶ ἐκβοῶντας φόβῳ· Λυτρωτά, * εὔφορον πᾶσι τὸ ἔτος χορήγησον.

Εὐθὺς ἡ δοξολογία (ἐπιλογὴ στίχων).

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.
Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.
Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου Κύριε.
Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.
Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.
Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. (***ἅπαξ***)
Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (***ἅπαξ***)
Εἶτα αἱ ἐξῆς αἰτήσεις τῆς ἐκτενοῦς, τῶν χορῶν ψαλλόντων ἐκ περιτροπῆς ἀνὰ ἓν τριπλοῦν, Κύριε, ἐλέησον, ***ἐξαιρέσει τῆς ἕκτης αἰτήσεως,*** Ὑπὲρ τοῦ διαφυλαχθῆναι, ***μεθ᾽ ἣν ψάλλουν αὐτὸ ἀνὰ δέκα ἀμοιβαδὸν τετράκις, πραείᾳ τῇ φωνῇ.***
Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν ***(τοῦ δεῖνος)*** καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Γένους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν τῷ κράτει ἡμῶν, τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ καὶ ὑπὲρ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσιν.
Ἔτι δεόμεθα ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν καὶ ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν νέον ἐνιαυτὸν τῆς χρηστότητος τοῦ Κυρίου.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν *(ἢ τὴν Μονὴν)* καὶ τὴν πόλιν *(ἢ χώραν, ἢ νῆσον)* ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι

καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ᾽ ἡμῶν κινουμένην· καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς. ***Ὁ διάκονος·*** Τοῦ Κυρίου δεηθῶμεν. ***Ὁ χορός·*** Κύριε, ἐλέησον. ***Ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην·***

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, ὁ ἄναρχος καὶ ἀτελεύτητος καὶ ἐπέκεινα παντὸς χρόνου νοούμενός τε καὶ ὑπάρχων, ὁ πάσης ἐκτὸς μεταβολῆς τε τῶν ὄντων καὶ ἀλλοιώσεως, ὁ τὸν πάντα χρόνον τόν τε γεγονότα τόν τε ὄντα καὶ τὸν ἐσόμενον πληρῶν, ὁ ἐν τῇ ἁφάτῳ σου μακροθυμίᾳ καταξιώσας ἡμᾶς εἰς νέον ἐνιαυτὸν τοῦ πλούτου τῆς χρηστότητός σου εἰσελθεῖν, αὐτός, πανάγαθε Δέσποτα, τὴν εἴσοδον ταύτην τῇ θείᾳ σου χάριτι εὐλόγησον· ὄμβρους εἰρηνικοὺς πρὸς καρποφορίαν τῇ γῇ δώρησαι· τοὺς ἀέρας ὑγιεινοὺς καὶ εὐκράτους ἀνθρώποις τε καὶ κτήνεσι κατασκεύασον· δὸς ἡμῖν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ βεβαίᾳ τὸν κύκλον αὐτοῦ διελθεῖν, τῷ στεφάνῳ τῆς δόξης τῶν ἀρετῶν κοσμουμένους, τῷ φωτὶ τῶν ἐντολῶν σου εὐσχημόνως ὡς ἐν ἡμέρᾳ καλῶς ὁδεύοντας· τὸ εὐσεβὲς ἡμῶν ἔθνος τῇ δυνάμει σου κραταίωσον· τὴν νεότητα παιδαγώγησον· τὸ γῆρας περικράτησον· τοὺς ὀλιγοψύχους παραμύθησον· τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε· τοὺς πεπλανημένους ἐπανάγαγε καὶ σύναψον τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ, ἣν τῇ θείᾳ σου χάριτι καλῶς διαφύλαξον· λάλησον ἀγαθὰ ἐν ταῖς καρδίαις τῶν ἀρχόντων ἡμῶν, ἐνίσχυσον καὶ ἐνδυνάμωσον αὐτούς τε καὶ τὸν φιλόχριστον ἡμῶν στρατόν· ἐλθέτω ἐφ᾽ ἡμᾶς, Κύριε, ἡ βασιλεία σου, βασιλεία ἀγάπης, χρηστότητος, δικαιοσύνης καὶ εἰρήνης, καὶ ἀξίωσον ἡμᾶς ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ ὑμνεῖν σε καὶ δοξάζειν σε τὸν ἐν Τριάδι ἄναρχον καὶ αἰώνιον Θεὸν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς τὴν Ἀπόλυσιν· Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν, [καὶ ἀναστὰς ἐκ νεκρῶν] Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν... Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν... ***Ὁ χορός·*** Ἀμήν.

ΤΑΞΙΣ ΤΕΛΕΤΗΣ ΚΟΠΗΣ ΒΑΣΙΛΟΠΙΤΤΑΣ. ***Ὁ διάκονος·*** *Εὐλόγησον,* ***Δέσποτα.Ὁ ἱερεύς·*** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.***Ὁ χορός·*** Ἀμήν.

Μορφὴν ἀναλλοιώτως ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ᾽ οὐσίαν πολυεύσπλαγχνε Κύριε· καὶ Νόμον ἐκπληρῶν περιτομήν, θελήσει καταδέχει σαρκικήν, ὅπως παύσῃς τὰ σκιώδη, καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν. Δόξα τῇ ἀγαθότητι τῇ σῇ· δόξα τῇ εὐσπλαγχνίᾳ σου· δόξα τῇ ἀνεκφράστῳ Λόγε συγκαταβάσει σου.

Ἀπολυτίκιον τοῦ Ἱεράρχου. Ἦχος α΄.Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου· δι᾽ οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας. Βασίλειον ἱεράτευμα, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα αἱ ἐξῆς αἰτήσεις τῆς ἐκτενοῦς ὑπὸ τοῦ διακόνου, τῶν χορῶν ψαλλόντων ἐκ περιτροπῆς ἀνὰ ἓν τριπλοῦν, Κύριε, ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν ***(τοῦ δεῖνος)*** καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν νέον ἐνιαυτὸν τῆς χρηστότητος τοῦ Κυρίου καὶ γενέσθαι αὐτὸν εἰρηνικὸν καὶ σωτήριον.

Ἔτι δεόμεθα ὑπὲρ ... ***(καὶ μνημονεύει τῶν ὑπὲρ ὧν γίνεται ἡ κοπὴ τῆς Βασιλόπιττας)*** τῶν ἀπεκδεχομένων τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.Ὁ χορός· Ἀμήν.***Ὁ διάκονος·*** Τοῦ Κυρίου δεηθῶμεν.***Ὁ χορός·*** Κύριε, ἐλέησον.***Ὁ ἱερεὺς τὴν εὐχήν·***

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος καὶ τὴν ζωὴν ἡμῶν εἰς χεῖρας σου διακρατῶν, ἐπάκουσον ἡμῶν δεομένων σου ἐν τῇ εὐσήμῳ ἡμέρᾳ ταύτῃ, ἐπὶ τῇ εἰσόδῳ ἡμῶν εἰς τὸν νέον ἐνιαυτὸν τῆς χρηστότητός

σου, καὶ εὐλόγησον τοὺς πλακοῦντας τούτους τοὺς προσφερομένους εἰς δόξαν σὴν καὶ τιμὴν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου Ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας. Ἐπίβλεψον μεγαλόδωρε ἐξ οὐρανοῦ ἁγίου σου καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς, τούς τε τὰ δῶρα ταῦτα εὐτρεπίσαντας καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας, τὰς οὐρανίους δωρεάς σου, ὅτι ἐπὶ σοὶ ἠλπίκαμεν, τῷ ζῶντι Θεῷ, εἰς τοὺς αἰῶνας. Εὐλόγησον τὰς εἰσόδους καὶ ἐξόδους ἡμῶν, πλήθυνον ἐν ἀγαθοῖς τὴν ζωὴν ἡμῶν καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν θείων σου ἐντολῶν, ὅτι οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος. Πρεσβείαις τῆς παναχράντου σου Μητρός, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου καὶ πάντων σου τῶν Ἁγίων.Ὁ χορός· Ἀμήν.***Ὁ ἱερεὺς τὴν Ἀπόλυσιν*** Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν, [καὶ ἀναστὰς ἐκ νεκρῶν] Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείας τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν Ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου, Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, οὐρανοφάντορος τοῦ Μεγάλου, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν…***Ὁ χορός*** Ἀμήν.

5-1 ***(εκτός Κυριακης και Δευτέρας τα Θεοφάνεια) Μετά τον Όρθρο, τις Ωρες, ο Εσπερινός και η Θεία Λειτουργία του Μ. Βασιλείου***

… Καὶ κατέβη Νεεμὰν καὶ ἐβαπτίσατο ἐν τῷ Ἰορδάνῃ ἑπτάκις κατὰ τὸ ῥῆμα τοῦ ἀνθρώπου τοῦ Θεοῦ, καὶ ἐπέστρεψεν ἡ σάρξ αὐτοῦ ἐπ' αὐτὸν ὡς παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη.

ὁ διάκονος: **Τ**οῦ Κυρίου δεηθῶμεν. ***ὁ α' χορὸς***, **Κ**ύριε ἐλέησον.

ὁ ἱερεύς: **Ὅ**τι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν…

καὶ ψάλλομεν τὸν <u>Τρισάγιον</u> ὕμνον, καὶ ὁ Ἀπόστολος. Προκείμενον Ἦχος γ'

Κύριος φωτισμός μου καὶ Σωτήρ μου.

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου ***(Κεφ. 9, 19-27)***

Ἀδελφοί, ἐλεύθερος ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω. Καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω, τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω, τοῖς ἀνόμοις ὡς ἄνομος (μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ), ἵνα κερδήσω ἀνόμους. Ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω, τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω. Τοῦτο δὲ ποιῶ διὰ τὸ Εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι, οὐκ οἴδατε ὅτι οἱ ἐν τῷ σταδίῳ τρέχοντες πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον. Οὕτω τρέχετε, ἵνα καταλάβητε. Πᾶς δὲ ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται, ἐκεῖνοι μὲν οὖν, ἵνα φθαρτὸν στέφανον λάβωσιν, ὑμεῖς δὲ ἄφθαρτον. Ἐγὼ τοίνυν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως, οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. Ἀλλ' ὑποπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

… Καὶ καθεξῆς ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου.

Εἰς τό, Ἐξαιρέτως τὸ Μέγα Μεγαλυνάριον, **Ἐμμελὴς ἀπαγγελία εἰς τὸ κλιτὸν**

Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος· ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. ***ὁ α' χορός. Ἦχος α' ἐκ τοῦ Κε.*** **Τ**ὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι.

…ὁ β' χορός,Κοινωνικὸν,ἦχος β'

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. **Ἀ**λληλούϊα.

5-1, Σάββατον προ των Φώτων, *ὁ β' χορός , Ἀπολυτίκιον, Προεόρτιον(Παραμονῆς), Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ*

Ἀπεστρέφετό ποτέ, ὁ Ἰορδάνης ποταμός, τῇ μηλωτῇ Ἐλισαιέ, ἀναληφθέντος Ἠλιού, καὶ διῃρεῖτο τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν, καὶ γέγονεν αὐτῷ, ξηρὰ ὁδὸς ἡ ὑγρά, εἰς τύπον ἀληθῶς τοῦ Βαπτίσματος, δι' οὗ ἡμεῖς τὴν ῥέουσαν, τοῦ βίου διαπερῶμεν διάβασιν, Χριστὸς ἐφάνη, ἐν Ἰορδάνῃ, ἁγιάσαι τὰ ὕδατα.

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ***Τὰ παρόντα, ΑΝΤΙΦΩΝΑ (Τῶν Καθημερινῶν), Ἀντίφωνον α΄, ὁ α' χορός , Ἦχος β΄.***

Στίχ. α'.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, …

Ἀντίφωνον Γ',ὁ α' χορός,Στίχ.

Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιείμ.

Ἀπολυτίκιον Προεόρτιον(Παραμονῆς), Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ

Ἀπεστρέφετό ποτέ, ὁ Ἰορδάνης …

ὁ β' χορός, Στίχ. Εἴδοσάν σε ὕδατα ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν.

Ἀπεστρέφετό ποτέ, ὁ Ἰορδάνης ποταμός,… ***Εἴσοδος. Εἰσοδικὸν, ὁ α' χορός***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς…***ὁ β' χορὸς***…**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

ὁ α' χορός, Ἀπολυτίκιον, Προεόρτιον(Παραμονῆς), Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ

Ἀπεστρέφετό ποτέ, ὁ Ἰορδάνης …

ὁ β' χορὸς, **Τοῦ <u>Ναοῦ</u>, *ὁ α' χορός*, *Κοντάκιον Προεόρτιον Ἦχος δ'*, *Ἦχος δ' Ἐπεφάνης σήμερον***

Ἐν τοῖς ῥείθροις σήμερον τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ. Μὴ δειλιάσῃς βαπτίσαι με, σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

Τρισάγιον, ***Ἀπόστολος (Α'Τιμ. Γ'13-16 Δ'1-5)***

Προκείμενον ἦχος πλ.β'.

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι.

Στίχ. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Πρὸς Τιμόθεον Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα .

Τέκνον Τιμόθεε, οἱ καλῶς διακονήσαντες βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται καὶ πολλὴν παῤῥησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ. Ταῦτά σοι γράφω ἐλπίζων ἐλθεῖν πρός σε τάχιον· ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας. Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον· Θεὸς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν Πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ. Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυστηριασμένων τὴν ἰδίαν

συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν. Ὅτι πᾶν κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον· ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

***…Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου.* ὁ β' χορός, Κοινωνικὸν**

Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ τοῖς εὐθέσι πρέπει αἴνεσις. **Ἀ**λληλούϊα. **ἦ**

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου Κύριε, καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. **Ἀ**λληλούϊα.

…Μετὰ δὲ τὴν ὀπισθάμβωνον Εὐχήν καὶ τὸ «Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον…», ***ἐξερχόμεθα ἐν τῇ Κολυμβήθρᾳ,…***

4-1,* Κυριακή πρό των Φώτων, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν)Ἀντίφωνον Α', Ἦχος β΄.

Στίχ.Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ.Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί…Καὶ νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Ἀντίφωνον Β', Ἦχος β΄.Στίχ.

Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς..
Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.
Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…
Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ μονογενὴς Υἱὸς ...
Ἀντίφωνον Γ', Στίχ.
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον.
Μικρὰ Εἴσοδος. Εἰσοδικὸν
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.
ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον.
……
4-1, *ὁ β' χορός, Ἀπολυτίκιον, Προεόρτιον, Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ*
Ἑτοιμάζου Ζαβουλών, καὶ εὐτρεπίζου Νεφθαλείμ. Ἰορδάνη ποταμέ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν Δεσπότην. Ἀγάλλου ὁ Ἀδὰμ σὺν τῇ Προμήτορι, μὴ κρύπτετε ἑαυτούς, ὡς ἐν Παραδείσῳ τὸ πρίν· καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς ἐπέφανεν, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν, Χριστὸς ἐφάνη, τὴν πᾶσαν κτίσιν, θέλων ἀνακαινίσαι.
……
5-1, *ὁ β' χορὸς, Προεόρτιον (Παραμονῆς) Ἦχος δ'*
Ἀπεστρέφετό ποτέ, ὁ Ἰορδάνης ποταμός, τῇ μηλωτῇ Ἐλισαιέ, ἀναληφθέντος Ἠλιού, καὶ διῃρεῖτο τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν, καὶ γέγονεν αὐτῷ, ξηρὰ ὁδὸς ἡ ὑγρά, εἰς τύπον ἀληθῶς τοῦ Βαπτίσματος, δι' οὗ ἡμεῖς τὴν ῥέουσαν, τοῦ βίου διαπερῶμεν διάβασιν, Χριστὸς ἐφάνη, ἐν Ἰορδάνῃ, ἁγιάσαι τὰ ὕδατα.
……
ὁ α' χορός, **Τοῦ Ναοῦ**,
ὁ β' χορός Κοντάκιον Προεόρτιον Ἦχος δ', Ἐπεφάνης σήμερον
Ἐν τοῖς ῥείθροις σήμερον τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ. Μὴ δειλιάσῃς βαπτίσαι με, σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

<u>Τρισάγιον</u>. *Ἀπόστολος, Προκείμενον. Ἦχος πλ. β΄*

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

***Στίχ.* Π**ρός σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Τιμόθεον Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα ***(δ΄:5-8)***

Τέκνον Τιμόθεε, νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον. Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε. Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής, οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

6-1, και Κυριακή, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Τὰ παρόντα ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον α΄, ὁ α' χορός, Ἦχος β΄. Στίχ. α'.*

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακώβ ἐκ λαοῦ βαρβάρου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***ὁ β' χορός, Στίχ. β'.* Ἐ**γενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός, Στίχ. γ'.* Ἡ** θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ β' χορός, Στίχ. δ'.* Τ**ί σοι ἐστι θάλασσα ὅτι ἔφυγες; καὶ σύ Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

ὁ α' χορός, Δόξα Πατρὶ... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β', ὁ β' χορός, Ἦχος β'

Στίχ. α'. **Ἠ**γάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Στίχ. β'.* Ὅ**τι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ...

***ὁ β' χορός, Στίχ. γ'.* Π**εριέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὗρόσάν με. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ...

ὁ α΄ χορός, Στίχ. δ΄. **Ἐ**λεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ...

ὁ β΄ χορός, Δόξα Πατρί... ***ὁ α΄ χορός***, Καὶ νῦν καὶ ἀεὶ...***ὁ β΄ χορός***, Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ…

Ἀντίφωνον Γ΄, ὁ α΄ χορός, Ἦχος α΄

Στίχ. α΄. **Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις, τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα, καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας δόξα σοι.

Εἴσοδος. , ὁ α΄ χορός, <u>Εἰσοδικὸν</u>,

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς...***ὁ β΄ χορὸς...***ψάλλοντάς σοι, Ἀλληλούϊα.

ὁ α΄ χορός,τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς , Ἦχος α΄

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε…

ὁ β΄ χορὸς, τὸ Κοντάκιον Ἦχος δ΄

Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ, καὶ τὸ φῶς σου Κύριε, ἐσημειώθη ἐφ' ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντάς σε. Ἦλθες ἐφάνης τὸ Φῶς τὸ ἀπρόσιτον.

Ἀντὶ δὲ τοῦ Τρισαγίου, **Ὅ**σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, Ἀλληλούϊα.

Ἀπόστολος, (Τιτ. β΄ 11-14, γ΄ 4-7).Προκείμενον ἦχος δ΄.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. **Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Τέκνον Τίτε, ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ἃ ἐποιήσαμεν ἡμεῖς

ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενώμεθα κατ᾽ ἐλπίδα ζωῆς αἰωνίου.

……

6-1: Τρίτη έως Σάββατο: ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου, Εἰς τό᾽Εξαιρέτως, ὁ α᾽ χορός, Ἦχος β᾽

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, τῶν ἄνω στρατευμάτων. **Ἀ**πορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς ἀξίαν ἱλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος, ὑμνεῖν σε Θεοτόκε, ὅμως ἀγαθὴ ὑπάρχουσα, τὴν πίστιν δέχου, καὶ γὰρ τὸν πόθον οἶδας, τὸν ἔνθεον ἡμῶν, σὺ γὰρ Χριστιανῶν εἶ προστάτις, σὲ μεγαλύνομεν.

……

…6-1: Κυριακή ή Δευτέρα, ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου Εἰς τό, Ἐξαιρέτως τὸ Μέγα Μεγαλυνάριον, Ἐμμελής ἀπαγγελία εἰς τὸ κλιτὸν

Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος· ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. ***ὁ α᾽ χορός, Ἦχος α᾽ ἐκ τοῦ Κε.*** **Τ**ὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι.

……

Κοινωνικὸν , ὁ β᾽ χορός , ἦχος βαρὺς, **Ἐ**πεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις. Ἀλληλούϊα.

Αντί τοῦ· «**Ε**ἴδομεν τό φῶς...»., ***ὁ α᾽ χορός, Ἀπολυτίκιον. Ἦχος α᾽.*** **Ἐ**ν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, …

7-1, και Κυριακή Μετά τα Φωτα,*᾽Αντίφωνον α΄, ὁ α᾽ χορός, Ἦχος β΄.*

Στίχ. α΄. **Ἐ**ν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακώβ ἐκ λαοῦ βαρβάρου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

ὁ β᾽ χορός, Στίχ. β΄. **Ἐ**γενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

ὁ α' χορός, Στίχ. γ'. **Ἡ** θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

ὁ β' χορός, Στίχ. δ'. **Τ**ί σοι ἐστι θάλασσα ὅτι ἔφυγες; καὶ σύ Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

ὁ α' χορός, Δόξα Πατρὶ... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β', ὁ β' χορός, Ἦχος β', Στίχ. **α'**. **Ἠ**γάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

ὁ α' χορός, Στίχ. β'. **Ὅ**τι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ…

ὁ β' χορός, Στίχ. γ'. **Π**εριέσχον μοι ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὗρόσάν με. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ...

ὁ α' χορός, Στίχ. δ'. **Ἐ**λεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ... ***ὁ β' χορός,*** Δόξα Πατρί... ***ὁ α' χορός,*** Καὶ νῦν καὶ ἀεὶ...***ὁ β' χορός,*** **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ,...

Ἀντίφωνον Γ', ὁ α' χορός, Ἦχος α', Στίχ. α'. **Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις, τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητὸν σὲ Υἱὸν ὀνομάζουσα, καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας δόξα σοι.

Εἴσοδος. , Εἰσοδικὸν, ὁ α' χορός

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

……

Κυριακή: Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.

<u>και το Αναστάσιμον Απολυτίκιον</u>

……

ὁ α' χορός , τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς, Ἦχος α', **Ἐ**ν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, …

ὁ β' χορὸς, Ἦχος β', Μνήμη δικαίου μετ' ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε, ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

ὁ α' χορὸς, **Τοῦ <u>Ναοῦ</u>**,

ὁ β' χορὸς, τὸ Κοντάκιον Ἦχος δ' , **Ἐ**πεφάνης σήμερον τῇ οἰκουμένῃ, καὶ τὸ φῶς σου Κύριε, ἐσημειώθη ἐφ' ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντάς σε. Ἦλθες ἐφάνης τὸ Φῶς τὸ ἀπρόσιτον. ***Ἀντὶ δὲ τοῦ Τρισαγίου,*** Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, Ἀλληλούϊα.

Ἀπόστολος, **Ε**ὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.***Στίχ.*** **Ε**ἰσάκουσον ὁ Θεὸς, τῆς φωνῆς μου. **Π**ράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα., ***(Πράξ. ιθ΄ 1-8).***

Εν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρὼν μαθητάς τινας εἶπε πρὸς αὐτούς· εἰ Πνεῦμα Ἅγιον ἐλάβετε πιστεύσαντες; οἱ δὲ εἶπον πρὸς αὐτόν· ἀλλ᾽ οὐδὲ εἰ Πνεῦμα Ἅγιόν ἐστιν ἠκούσαμεν. Εἶπέ τε πρὸς αὐτούς· εἰς τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπον· εἰς τὸ Ἰωάννου βάπτισμα. Εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτὸν ἵνα πιστεύσωσι, τοῦτ᾽ ἔστιν εἰς τὸν Ἰησοῦν Χριστόν. Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας ἦλθε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ᾽ αὐτούς, ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον. Ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο. Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν ἐπαῤῥησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος, καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

…Εἰς τό Ἐξαιρέτως, ὁ α' χορός , Ἦχος β'

Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας. **Ὦ** τῶν ὑπὲρ νοῦν, τοῦ τόκου σου θαυμάτων! Νύμφη πάναγνε, Μῆτερ εὐλογημένη, Δι' ἧς τυχόντες παντελοῦς σωτηρίας, Ἐπάξιον κροτοῦμεν ὡς εὐεργέτῃ, Δῶρον φέροντες ὕμνον εὐχαριστίας.

…Κοινωνικὸν ,ὁ β' χορός, **Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται Δίκαιος. **Ἀ**λληλούϊα. ***Αντί τοῦ*** «**Ε**ἴδομεν τό φῶς…». ***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος α'. Τ'*****Ε**ν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε…

Κυριακή μετά τα Φωτα, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῆς ἑορτῆς), Ἀντίφωνον Α΄, Ἦχος β΄.*

Στίχ. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακώβ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.
Στίχ. Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, ἐκ λαοῦ βαρβάρου. Ταῖς πρεσβείαις **…**
Στίχ. Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. Ταῖς πρεσβείαις… ***Στίχ***. Τί σοι ἐστι θάλασσα ὅτι ἔφυγες; καὶ σύ Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; Ταῖς πρεσβείαις …
Δόξα Πατρί…Καὶ νῦν…Ταῖς πρεσβείαις …
Ἀντίφωνον Β. Ἦχος β΄. Στίχ.
Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. β'. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ …

Στίχ. γ΄. Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὗροσάν με. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ…

Στίχ. Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ …
Δόξα Πατρὶ… Καὶ νῦν…Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος …
Ἀντίφωνον Γ΄, Ἦχος α΄.Στίχ. α΄.
Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Ἀπολυτίκιον τῆς ἑορτῆς. , Ἦχος α΄,
Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις, τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα, καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας δόξα σοι.
Στίχ. β'. Εἰπάτω δὴ οἶκος Ἰσραήλ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου …

Στίχ. γ'. Εἰπάτω δὴ οἶκος Ἀαρών, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε,...

Στίχ. δ'. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸ Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε…

Μικρὰ Εἴσοδος. Εἰσοδικὸν, ὁ α' χορός,

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστὰς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.

<u>ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον.</u>

Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος α Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ...

Ἀπολυτίκιον τοῦ αγίου του <u>Ναοῦ</u>, ὁ α' χορός, τὸ Κοντάκιον Ἦχος δ'

Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ, καὶ τὸ φῶς σου Κύριε, ἐσημειώθη ἐφ' ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντάς σε. Ἦλθες ἐφάνης τὸ Φῶς τὸ ἀπρόσιτον.

<u>Τρισάγιον</u>*, Ἀπόστολος, ΚΥΡΙΑΚΗΣ ΜΕΤΑ ΤΑ ΦΩΤΑ, Προκείμενον. Ἦχος δ'*

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***4:7-13***

Ἀδελφοί, ἑνὶ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. Διὸ λέγει· ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις. Τὸ δὲ ἀνέβη τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς; Ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα. Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν Ἀποστόλους, τοὺς δὲ Προφήτας, τοὺς δὲ Εὐαγγελιστάς, τοὺς δὲ Ποιμένας καὶ Διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν Ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

……

14-1, απόδοσις εορτης Φώτων, Κυριακή μετά τα Φωτα. ….

…Εἰς τό Ἐξαιρέτως, ὁ α' χορός , Ἦχος β'

Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας. Ὢ τῶν ὑπὲρ νοῦν, τοῦ τόκου σου θαυμάτων! Νύμφη πάναγνε, Μῆτερ εὐλογημένη, Δι' ἧς τυχόντες παντελοῦς σωτηρίας, Ἐπάξιον κροτοῦμεν ὡς εὐεργέτῃ, Δῶρον φέροντες ὕμνον εὐχαριστίας.

…Κοινωνικὸν ,ὁ β' χορός , Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις. Ἀλληλούϊα. …***αντί του*** "είδομεν το φως το αληθινόν… το "εν Ιορδάνη βαπτιζομένου σου, Κύριε…".

……

ΚΥΡΙΑΚΗ ΙΒ΄ΛΟΥΚΑ, ΚΥΡΙΑΚΗ ΙΕ΄ΛΟΥΚΑ (του Ζακχαίου), ΚΥΡΙΑΚΗ ΙΔ΄ΛΟΥΚΑ ***(Δεκέμβριο ή Ιανουάριο) ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν)Ἀντίφωνον Α', Ἦχος β΄.***

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ.Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί…Καὶ νῦν... Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Ἀντίφωνον Β', Ἦχος β΄.Στίχ.

Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς..

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ μονογενὴς Υἱὸς …

Ἀντίφωνον Γ΄, Ἦχος βαρύς. Στίχ. α΄.

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

<u>ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον.</u>

Μικρὰ Εἴσοδος. Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.

<u>ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον.</u>

……

Ἀπολυτίκιον του Μηναίου

……

Ἀπολυτίκιον Τοῦ <u>Ναοῦ,</u> Κοντάκιον ,Ἦχος α΄

Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου, καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς Χριστὲ ὁ Θεός. Ἀλλ' εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον Βασιλεῖς οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

<u>Τρισάγιον</u>, ***Ἀπόστολος***

ΚΥΡΙΑΚΗ ΙΖ' Ματθαίου, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν),…Ἀντίφωνον Γ',Στίχ.*

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

<u>ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον.</u>

Μικρὰ Εἴσοδος., Εἰσοδικὸν, ὁ α' χορός, Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν***…ὁ β' χορὸς…***ψάλλοντάς σοι, Ἀλληλούϊα.

<u>ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον.</u>

……

Ἀπολυτίκιον του Μηναίου

……

ὁ α' χορὸς, Τοῦ <u>Ναοῦ,</u> ὁ β' χορός, Κοντάκιον, Ἦχος α'

Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου, καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς Χριστὲ ὁ Θεός. Ἀλλ' εἰρήνευσον ἐν πολέμοις τὸ

πολίτευμα, καὶ κραταίωσον Βασιλεῖς οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

Τρισάγιον, Ἀπόστολος, *ΚΥΡΙΑΚΗ ΙΖ΄ (από την Πεντηκοστή), Προκείμενον. Ἦχος πλ. δ΄*

Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Στίχ. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

Πρὸς Κορινθίους Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***6:16-18; 7:1***

Ἀδελφοί, ὑμεῖς ἐστε ναὸς Θεοῦ ζῶντος, καθὼς εἶπεν ὁ Θεὸς ὅτι ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός. Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, λέγει Κύριος, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, κἀγὼ εἰσδέξομαι ὑμᾶς, καὶἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺςκαὶ θυγατέρας, λέγει Κύριος παντοκράτωρ. Ταύτας οὖν ἔχοντες τὰςἐπαγγελίας, ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.

30-1, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ Ἀντίφωνον α΄ Ἦχος β΄ ὁ α΄ χορὸς*, Στίχ. α'.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

ὁ β΄χορὸς. Στίχ. β'. **Τ**οῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

ὁ α΄ χορὸς Στίχ. γ'. **Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β΄ὁ β΄χορὸς*, Στίχ. α'.**

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

ὁ α΄ χορὸς, Στίχ. β'. **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...

ὁ β' χορὸς, Στίχ. γ'. **Ὅ**τι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...

ὁ α' χορὸς, Δόξα Πατρὶ...***ὁ β' χορὸς.*** Καὶ νῦν**...Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος …

Ἀντίφωνον Γ'ὁ α' χορός**, Στίχ.**

Καυχήσονται Ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Ἀπολυτίκιον Ἦχος α'. **Τ**οὺς τρεῖς μεγίστους φωστῆρας τῆς Τρισηλίου θεότητος, τοὺς τὴν οἰκουμένην ἀκτῖσι δογμάτων θείων πυρσεύσαντας, τοὺς μελιῤῥύτους ποταμοὺς τῆς σοφίας, τοὺς τὴν κτίσιν πᾶσαν θεογνωσίας νάμασι καταρδεύσαντας, Βασίλειον τὸν μέγαν, καὶ τὸν Θεολόγον Γρηγόριον, σὺν τῷ κλεινῷ Ἰωάννῃ, τῷ τὴν γλῶτταν χρυσορῥήμονι, πάντες οἱ τῶν λόγων αὐτῶν ἐρασταί, συνελθόντες ὕμνοις τιμήσωμεν, αὐτοὶ γὰρ τῇ Τριάδι, ὑπὲρ ὑμῶν ἀεὶ πρεσβεύουσιν.

Εἴσοδος. Εἰσοδικὸνὁ α' χορός. **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς...***ὁ β' χορὸς***...**Ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

ὁ α' χορός,Ἀπολυτίκιον Ἦχος α'. **Τ**οὺς τρεῖς μεγίστους φωστῆρας …

ὁ β' χορόςἈπολυτίκιον Ἦχος δ', **Ὡ**ς τῶν Ἀποστόλων ὁμότροποι, καὶ τῆς οἰκουμένης Διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ὁ α' χορόςΤοῦ <u>Ναοῦ</u>

ὁ β' χορός, Κοντάκιον Ἦχος α', **Ὁ** μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου, καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς Χριστὲ ὁ Θεός. Ἀλλ' εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον Βασιλεῖς οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

Τρισάγιον.Ἀπόστολος (Ἑβρ. ιγ΄ 7-16).Προκείμενον ἦχος πλ.δ'

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Στίχ. **Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***(῾Εβρ. ιγ΄ 7-16)***

Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν. ῾Ιησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατοῦντες. Ἔχομεν θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Ὧν γὰρ εἰσφέρεται ζῴων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. Διὸ καὶ ῾Ιησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθεν. Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες· οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Δι᾽ αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τοῦτ᾽ ἔστιν καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε, τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

…ὁ β᾽ χορός Κοινωνικὸν. **Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἀλληλούϊα.

Κυριακή, 30-1(εκτός Τριωδίου και το Ευαγγέλιον ειναι των αγίων), ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,…***

Ἀντίφωνον Γ΄. ῏Ηχος βαρύς. (Ψαλμὸς ριζ΄) Στίχ. α΄.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἀπολυτίκιον ἀναστάσιμον.

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ Εἴσοδικόν. ῏Ηχος β΄

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν… ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον ἀναστάσιμον.

Ἀπολυτίκιον τῶν Ἁγίων ῾Ιεραρχῶν. ῏Ηχος α΄. Αὐτόμελον.

Τοὺς τρεῖς μεγίστους φωστῆρας …

***Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ* Ναοῦ.**
Κοντάκιον τῆς Ὑπαπαντῆς. Ἦχος α΄. Αὐτόμελον. (από 15-1 έως αποδόσεως, πλήν 1-2)
Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ …
ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ
Ἀπόστολος καὶ Εὐαγγέλιον τῶν Ἁγίων
…… ***Κοινωνικόν***. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐ- τῶν. Ἀλληλούϊα.

ΑΠΟΣΤΟΛΟΙ ΙΑΝΟΥΑΡΙΟΥ

Ἀπόστολος, ΚΥΡΙΑΚΗ ΚΘ, Προκείμενον. Ἦχος πλ, δ',
Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.
Στίχ*. Γνωστός ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.*
Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***3:4-11***
Ἀδελφοί, ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. Νεκρώσατε οὖν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν ἥτις ἐστὶν εἰδωλολατρία, δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε ὅτε ἐζῆτε ἐν αὐτοῖς. Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν· μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν, ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός.
ΚΥΡΙΑΚΗ Λ΄, Προκείμενον. *Ἦχος β΄*
Σύ, Κύριε, φυλάξαις ἡμᾶς καὶ διατηρήσαις ἡμᾶς.
Στίχ*. Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.*
Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα, ***3:12-16.***
Ἀδελφοί, ἐνδύσασθε, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, τα πεινοφροσύνην, πραότητα, μακροθυμίαν, ἀνεχόμενοι

ἀλλήλων καὶ χαριζόμενοι ἑαυτοῖς ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς· ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος· καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι· καὶ εὐχάριστοι γίνεσθε· ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

Κυριακῆς τῆς ΛΑ΄ Ἑβδομάδος, Προκείμενον. Ἦχος πλ. δ΄
Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.
Στίχ. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.
Πρὸς Τιμόθεον Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. ***(Α΄ Τιμ. α΄ 15-17)***
Τέκνον Τιμόθεε, πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν αἰώνιον. Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.
Ἀπόστολος ΛΒ΄ Κυριακῆ),Προκείμενον καὶ Ἀλληλούϊα τοῦ ἤχου τῆς Κυριακῆς,
Προκείμενον. Ἦχος βαρύς
Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.
Στίχ. *Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.*
Πρὸς Τιμόθεον Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***4:9-15***
Τέκνον Τιμόθεε, πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος· εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι Σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν. Παράγγελλε ταῦτα καὶ δίδασκε. Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ. Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ

πρεσβυτερίου. Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν.

Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: 11-1, 17-1, 18-1, 20-1, 25-1, 27-1, 30-1

11-1, (+30-1), Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδοσίου τοῦ Κοινοβιάρχου.
Προκείμενον. Ἦχος βαρύς [Ψαλμός 115]
Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.
Στίχ. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ ἡμῖν;
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***(Ἑβρ. ιγ΄ 7-16)***
Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατοῦντες. Ἔχομεν θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Ὧν γὰρ εἰσφέρεται ζῴων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθεν. Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες· οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Δι᾽ αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τοῦτ᾽ ἔστιν καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε, τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

17-1 (βλέπε 6-12), Ἀπόστολος Τοῦ Ἁγίου· (Ἑβρ. ιγ΄ 17-21). Προκείμενον ἦχος βαρύς.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ.Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα .
Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες΄ ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσιν καὶ μὴ στενάζοντες, ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν΄ πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσιν καλῶς θέλοντες ἀναστρέφεσθαι. Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. ῾Ο δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν ᾽Ιησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ἡμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ διὰ ᾽Ιησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ἀπόστολος 18-1, (῾Εβρ. ΙΓ΄ 7-16). Προκείμενον ῍Ηχος δ᾽ ῞Υμνος Τριῶν Παίδων
Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.
Στίχ. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν,
…**11-1, (+30-1),**

20. Μνήμη Τοῦ ῾Οσίου Πατρός Εὐθυμίου τοῦ Μεγάλου (*ΙΕ᾽ Ματθαίου)*. Προκείμενον. ῍Ηχος βαρὺς.
Καυχήσονται ὅσιοι ἐν δόξῃ.
Στίχ. Ἄισατε τῷ Κυρίῳ ᾄσμα καινόν.
Πρὸς Κορινθίους Β᾽ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα **4:6-15**
Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ. Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ καὶ μὴ ἐξ ἡμῶν. Ἐν παντὶ θλιβόμενοι, ἀλλ᾽ οὐ στενοχωρούμενοι, ἀπορούμενοι ἀλλ᾽ οὐκ ἐξαπορούμενοι, διωκόμενοι ἀλλ᾽ οὐκ ἐγκαταλειπόμενοι, καταβαλλόμενοι ἀλλ᾽ οὐκ ἀπολλύμενοι· πάντοτε τὴν

νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ. Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. Ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν. Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον, «Ἐπίστευσα, διὸ ἐλάλησα», καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. Εἰδότες ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ καὶ παραστήσει σὺν ὑμῖν. Τὰ γὰρ πάντα δι᾽ ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν τοῦ Θεοῦ.

25-1, (+13-11), Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Θεολόγου.

Προκείμενον. Ἦχος α΄. [Ψαλμός μη΄ 48]

Στίχος: Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν·

Στίχος: Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου, ***Κεφ. 7: 26-28, 8: 1-2***

Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, ὃς οὐκ ἔχει καθ᾽ ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν Ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

27. Μνήμη Ἀνακομιδῆς τοῦ ἱεροῦ λειψάνου τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Ἰωάννου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

Προκείμενον. Ἦχος α΄

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν·

Στίχ. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη.
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ ΄Ανάγνωσμα ***7:26-28, 8:1-2***
Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς,...**25-1, (+13-11),**

30-1, (΄Εβρ. ιγ΄ 7-16).Προκείμενον ἦχος πλ.δ'
Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.
Στίχ. **Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα **(*΄Εβρ. ιγ΄ 7-16)***
Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, ...***Ἀπόστολος*** **11-1,*18-1.***

Ο ΧΟΡΟΣ ΤΗΝ ΩΡΑ ΤΟΥ ΚΟΙΝΩΝΙΚΟΥ, ΣΤΑΣΙΣ ΠΡΩΤΗ, Ἀπὸ Ψαλμὸν 118. ΄Ηχος πλ. β΄.

Ἄμωμοι ἐν ὁδῷ, Ἀλληλούϊα. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἀλληλούϊα.

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἀλληλούϊα.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ἀλληλούϊα.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Ἀλληλούϊα.

Ἄθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν, τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ἀλληλούϊα.

Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Ἀλληλούϊα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἀλληλούϊα.

ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ, ΄Ηχος πλ. α΄.

Αἱ χεῖρες σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου. Ἐλέησόν με, Κύριε.

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἐλέησόν με, Κύριε.

Σός εἰμι ἐγώ, σῶσον με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐλέησόν με, Κύριε.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. Ἐλέησόν με, Κύριε.

Ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι΄ ἀντάμειψιν. Ἐλέησόν με, Κύριε.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου. Ἐλέησόν με, Κύριε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἐλέησόν με, Κύριε, Κύριε.

ΣΤΑΣΙΣ ΤΡΙΤΗ, Ἦχος πλ. δ΄.

Καὶ ἐλέησόν με. Ἀλληλούϊα. Ἐπίβλεψον ἐπ΄ ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Ἀλληλούϊα.

Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἀλληλούϊα.

Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμα σου ζῆσόν με. Ἀλληλούϊα.

Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Ἀλληλούϊα.

Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός, ζήτησον τὸν δοῦλον *(τὴν δούλην, τοὺς δούλους σου, τὰς δούλας σου)* σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

……

<u>Ἀκολουθία τοῦ Μνημοσύνου εἰς κεκοιμημένους</u>

{ΜΕΤΑ ΤΗΝ ΑΠΟΛΥΣΙ ΤΗΣ Θ. ΛΕΙΤΟΥΓΙΑΣ. Ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ***Ἀναγνώστης·*** Ἀμήν. **<u>Τρισάγιον</u>**. Δόξα… Καὶ νῦν… Παναγία Τριάς… Κύριε, ἐλέησον ***(γ΄).*** Δόξα… Καὶ νῦν… Πάτερ ἡμῶν… Ὅτι Σοῦ ἐστιν…}

……

ΕΥΛΟΓΗΤΑΡΙΑ (<u>ΣΤΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ ΜΕΤΑ ΤΟ «ΕΙΗ ΤΟ ΟΝΟΜΑ ΚΥΡΙΟΥ…»</u>)

Ἦχος πλ. α΄.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

<u>Τῶν Ἁγίων</u> ὁ χορός, εὗρε πηγὴν τῆς ζωῆς καὶ θύραν Παραδείσου, εὕρω κἀγώ, τὴν ὁδὸν διὰ τῆς μετανοίας· τὸ

ἀπολωλὸς πρόβατον ἐγώ εἰμι· ἀνακάλεσαί με, Σωτήρ, καὶ σῶσόν με.

[(για κεκοιμημένους ιερεις), *Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

Οἱ τὸν Ἀμνόν, τοῦ Θεοῦ κυρήξαντες, καὶ σφαγιασθέντες ὥσπερ ἄρνες, καὶ πρὸς ζωὴν τὴν ἀγήρω, Ἅγιοι, καὶ ἀΐδιον μετατεθέντες, τοῦτον ἐκτενῶς, Μάρτυρες, αἰτήσασθε, ὀφλημάτων λύσιν ἡμῖν δωρήσασθαι.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Οἱ τὴν ὁδόν, τὴν στενὴν βαδίσαντες, τεθλιμμένην πάντες οἱ ἐν βίῳ· οἱ τὸν Σταυρόν, ὡς ζυγὸν ἀράμενοι, καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει, δεῦτε ἀπολαύετε, ἃ ἡτοίμασα ὑμῖν, βραβεῖα καὶ στέφη τὰ οὐράνια.]

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ὁ πάλαι μέν, ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ΄ ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εἰκών εἰμι, τῆς ἀῤῥήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων· οἰκτείρησον τὸ σὸν πλάσμα, Δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ· καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, Παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἀνάπαυσον, ὁ Θεὸς *[τὸν δοῦλόν σου, τὴν δούλην σου, τοὺς δούλους σου,]* καὶ κατάταξον *[αὐτὸν, αὐτὴν, αὐτοὺς]* ἐν Παραδείσῳ, ὅπου χοροὶ τῶν Ἁγίων, Κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες· *[τὸν κεκοιμημένον δοῦλον, τὴν κεκοιμημένην δούλην, τοὺς κεκοιμημένους δούλους σου]* ἀνάπαυσον, παρορῶν *[αὐτοῦ, αὐτῆς, αὐτῶν]* πάντα τὰ ἐγκλήματα.

Δόξα... Τὸ τριλαμπὲς τῆς μιᾶς Θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱὸς καὶ θεῖον Πνεῦμα· φώτισον ἡμᾶς πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν... Χαῖρε σεμνή, ἡ Θεὸν σαρκὶ τεκοῦσα, εἰς πάντων σωτηρίαν, δι΄ ἧς γένος τῶν ἀνθρώπων εὗρατο τὴν σωτηρίαν· διὰ σοῦ εὔροιμεν Παράδεισον, Θεοτόκε, ἁγνὴ εὐλογημένη.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός ***(γ΄).*** (καὶ ανάπαυσον τὸν δοῦλον σου- *τὴν δούλην σου, τοὺς δούλους σου)*

……

ΙΔΙΟΜΕΛΑ, Ἦχος πλ. δ΄. (Ο ΙΕΡΕΥΣ ΘΥΜΙΑΖΩΝ ή ο ψάλτης)(Στο Πατριαρχειο δεν λέγεται)

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὴν ψυχὴν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου· ἔνθα οὐκ ἐστὶ πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.}.

Ἀκολουθία τοῦ ΝΕΚΡΩΣΙΜΟΥ ΤΡΙΣΑΓΙΟΥ

……..

[Ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀναγνώστης· Ἀμήν**. Τρισάγιον.** Δόξα… Καὶ νῦν… Παναγία Τριάς… Κύριε, ἐλέησον ***(γ΄).*** Δόξα… Καὶ νῦν… Πάτερ ἡμῶν… Ὅτι Σοῦ ἐστιν…**]**

……

Καὶ ψάλλουσι τὰ Τροπάρια ταῦτα. Ἦχος δ΄.

(ΜΝΗΜΟΣΥΝΟ ΣΤΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ, ΕΙΗ ΤΟ ΟΝΟΜΑ ΚΥΡΙΟΥ…)

Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τὴν ψυχὴν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου, Σῶτερ, ἀνάπαυσον, φυλάττων αὐτὴν (*αὐτὰς*) εἰς τὴν μακαρίαν ζωὴν τὴν παρὰ σοί, φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τὴν ψυχήν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα…Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καταβὰς εἰς ῞Αδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ τὴν ψυχὴν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου, Σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν… Ἡ μόνη ἀγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὴν ψυχὴν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου.

……

στην Διακαινήσιμο εβδομάδα: Χριστός ανέστη εκ νεκρων, θανάτω θάνατον πατήσας, και τοις εν τοις μνήμασι, ζωήν χαρισάμενος.***(3)*** Αναστάς ο Ιησους από του τάφου καθώς προειπεν, έδωκεν ημιν την αιώνιον ζωήν και μέγα έλεος.

……

Ἱερεύς (Δ)· Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου,….

Χ. Κύριε, ἐλέησον……***Δι΄ ἄνδραν·*** Αἰωνία σου ἡ μνήμη ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν ***(γ΄).***

(ΘΥΜΙΑΖΩΝ ΚΑΙ ΨΑΛΤΑ) Αἰωνία ἡ μνήμη, Αἰωνία ἡ μνήμη, Αἰωνία αὐτοῦ, [αὐτῆς, αὐτῶν] ἡ μνήμη ***(γ΄).***

(Τοῦ Κυρίου δεηθῶμεν. ***ΑΠΟΛΥΣΙΣ Θ. ΛΕΙΤΟΥΡΓΙΑΣ)***

Ἱερεύς: Δι΄εὐχῶν…***Ἀναγνώστης·*** Ἀμήν.

(*στην Διακαινήσιμο εβδομάδα*:Ι. Χριστός ανέστη εκ νεκρων, θανάτω θάνατον πατήσας, και τοις εν τοις μνήμασι, ζωήν χαρισάμενος. ***Χ.*** Αληθως ανέστη ο Κύριος.)

π. Γ. Θ. https://www.youtube.com/user/KERMENI (βλέπε στις πληροφορίες: τα αρχεια μου -για δωρεάν κατέβασμα-, μπλογκ, φέισμπουκ)